# BEOCIO

**Tanagra, *ca*. 222-205, *IG* VII 504**

Ξεναρίστ[ω ἄρχ]οντος, μεινὸς Ἀλαλκομ̣ενίω πετρ[άδι ἀ]πιόντος, ἐπεψάφιδδε Ὀν̣[ασι]μ̣ίδας
Ἀμουνίαο, Ἀχ[ηὸς] Δαμοφίλω ἔλεξε· δεδόχθη τῦ δάμυ, πρόξενον εἶμεν κὴ εὐεργέταν τᾶς πόλιος
Ταναγρήων Κτήσωνα Χαριφάμω Ἐρετριεῖα αὐτὸν κὴ ἐσγόνως, κὴ εἶμεν αὐτοῖς γᾶς κὴ ϝυκίας
ἔππασιν κὴ ἀσφάλιαν κὴ ἀσουλίαν κὴ πολέμω κὴ ἰράνας ἰώσας κὴ κατὰ γᾶν κὴ κατὰ θάλατταν, κὴ
τἆλλα πάντα καθάπερ τοῖς ἄλλοις προξένοις κὴ εὐεργέτης.

**Tanagra, *incerta aetate*, IG VII 517**

Ἀριστοκλίδαο ἄρχοντος, μεινὸς Θουΐω νευμεινίη,
κατὰ δὲ τὸν θιὸν Ὁμολωΐω ἑσκηδεκάτη, ἐπεψάφιδδε Ἀγάθαρ-
χος, Εὔνοστος Μελίτωνος ἔλεξε· δεδόχθη τῦ δάμυ, πρό-
ξενον εἶμεν κὴ εὐεργέταν τᾶς πόλιος Ταναγρήων Διω-
νούσιον Θιοφίδιος Δαματρεῖα αὐτὸν κὴ ἐσγόνως, κὴ εἶμεν
αὐτῦς γᾶς κὴ ϝυκίας ἔππασιν κὴ ϝισοτέλιαν κὴ
ἀσφάλιαν κὴ ἀσουλίαν κὴ πολέμω κὴ ἰράνας ἰώ-
σας κὴ κατὰ γᾶν κὴ κατὰ θάλατταν, κὴ τὰ ἄλλα
πάντα καθάπερ τῦς ἄλλυς προξένυς κὴ εὐεργέτης.

## LESBIO

**Mileto, *ca.* 167, IG XII, Suppl. Aegean Isl. 139.A.**

Ἐρμίας Ἀρχίου εἶπεν· περὶ ὧν ἀ βόλλα προεβούλευσε() καὶ οἰ στράτ̣αγοι προτίθεισι καὶ τῶν τιμώχων καὶ πρεσβυτέρων οἰ παρέοντ̣ες ἔπηλθον· ἐπειδὴ παραγέγοναν εἰς τὰν πόλιν οἰ μεταπέμφθεντες ἐκ Μιλήτω δίκασται ἐπὶ ταὶς δίκαις ταὶς κὰ<τ> τὰν ἐπισυν̣θήκαν τὰν πρὸς Ἐρεσίοις καὶ συνθήκαν, Ἀξίοχος Μόλπω, Ἀντίγο̣νος Δημητρίω, ἀνάγκαιον δέ ἐστιν καὶ σύμφερον περί τε τῶν κὰτ τὰν ἐνδαμίαν αὔτων προνοήθην καὶ περὶ ἐξαποστόλας καὶ πορη̣[ί]ω καὶ τῶ συναποκατασστάσοντος αὔτοις, ὄπως κε οὖν περὶ τούτων βολλεύσαιτο ἀ βόλλα καὶ ὀ δᾶμος, δέδοχθαι τῶ δάμω· τοὶς μὲν στρατάγοις καὶ τοὶς ἐξετάσταις καὶ τὸν ἀντιγράφεα προνοήθην περὶ τῶν κὰτ τὰν ἐνδαμίαν αὔτων· τοὶ<ς> δὲ ἐπὶ τῶ χειρίσμω ταμίαις δόμεναι τοῖς δικάσταις εἴς τε τὰν ἐξαποστόλαν καὶ τὸ πορήϊον, ὄπως ἀνακομίσθωσι ἀσφάλως, δράχμαις Ἀλεξανδρείαις ἔκατον, δεῖξαι δὲ ἐν τᾶ ἐκκλησία ἤδη καὶ τὸν συναποκαταστάσοντα αὔτοις· ὀ δὲ πρύτανις καὶ ὀ βασίλευς καλεσσάτω̣σαν τοίς τε δικάσταις καὶ τὸν ἀγώγεα εἰς τὸ πρυτανήϊον ἐπὶ τὰν κο<ί>ναν ἐστίαν τᾶς πόλιος. ὀ συναποκατα<στά>σων ἐδείχθη Ἐρμίας Ἀρχία.

**Larisa, *ca.* 214, *IG* IX,2 517.**

[ταγ]ευόντουν Ἀναγκίπποι Πετθαλείοι, Ἀριστονόοι Εὐνομείοι, Ἐπιγένεος Ἰασονείοι, Εὐδίκο[ι] [Ἀδα]μαντείοι, Ἀλεξία Κλεαρχείοι, γυμνασιαρχέντος Ἀλεύα Δαμοσθενείοι· Φιλίπποι τοῖ βασιλεῖος ἐπιστολὰν ἀ[π]υστέλλαντος πὸτ τὸς ταγὸς καὶ τὰν πόλιν τὰν ὑπογεγραμμέναν· “βασιλεὺς Φίλιππος Λαρισαίων τοῖς ταγοῖς καὶ τῆι πόλει χαίρειν· Πετραῖος καὶ Ἀνάγκιππος καὶ Ἀριστόνους ὡς ἀπὸ τῆς πρεσβείας ἐγένοντο, ἐνεφάνιζόν μοι ὅτι καὶ ἡ ὑμετέρα πόλις διὰ τοὺς πολέμους προσδεῖται πλεόνων οἰκητῶν· ἕως ἂν οὖν καὶ ἑτέρους ἐπινοήσωμεν ἀξίους τοῦ παρ’ ὑμῖν πολιτεύματος, ἐπὶ τοῦ παρόντος κρίνω ψηφίσασθαι ὑμᾶς ὅπως τοῖς κατοικοῦσιν παρ’ ὑμῖν Θεσσαλῶν ἢ τῶν ἄλλων Ἑλλήνων δοθῆι πολιτεία. τούτου γὰρ συντελεσθέντος καὶ συνμεινάντων πάντων διὰ τὰ φιλάνθρωπα πέπεισμαι ἕτερά τε πολλὰ τῶν χρησίμων ἔσεσθαι καὶ ἐμοὶ καὶ τῆι πόλει καὶ τὴν χώραν μᾶλλον ἐξεργασθήσεσθαι. ἔτους β Ὑπερβερεταίου κα.” ψαφιξαμένας τᾶς πόλιος ψάφισμα τὸ ὑπογεγραμμένον· “Πανάμμοι τᾶ ἕκτα ἐπ’ ἰκάδι συνκλεῖτος γενομένας, ἀγορανομέντουν τοῦν ταγοῦν πάντουν Φιλίπποι τοῖ βασιλεῖος γράμματα πέμψαντος πὸτ τὸς ταγὸς καὶ τὰν πόλιν διέκι Πετραῖος καὶ Ἀνάγκιππος καὶ Ἀριστόνοος, οὑς ἀτ τᾶς πρεισβείας ἐγένονθο, ἐνεφανίσσοεν αὐτοῦ, πὸκ κί καὶ ἁ ἀμμέουν πόλις διὲ τὸς πολέμος ποτεδέετο πλειόνουν τοῦν κατοικεισόντουν· μέσποδί κε οὖν καὶ ἑτέρος ἐπινοείσουμεν ἀξίος τοῖ πὰρ ἀμμὲ πολιτεύματος, ἐτ τοῖ παρεόντος κρεννέμεν ψα[φ]ίξασθει[ν ἀ]μμὲ ο<ὑ>ς κε τοῖς κατοικέντεσσι πὰρ ἀμμὲ Πετθ[α]λοῦν καὶ τοῦν ἄλλουν Ἑλλάνουν δοθεῖ ἁ πολιτεία· τοίνεος γὰρ συντελεσθέντος καὶ συνμεννάντουν πάντουν διὲ τὰ φιλάνθρουπα πεπεῖστειν ἄλλα τε πολλὰ τοῦν χρεισίμουν ἔσσεσθειν καὶ εὑτοῦ καὶ τᾶ πόλι καὶ τὰν χούραν μᾶλλον ἐξεργασθείσεσθειν· ἐψάφιστει τᾶ πολιτεία πρασσέμεν πὲρ τούννεουν κὰτ τὰ ὁ βασιλεὺς ἔγραψε, καὶ τοῖς κατοικέντεσσι πὰρ ἀμμὲ Πετθαλοῦν καὶ τοῦν ἄλλουν Ἑλλάνουν δεδόσθειν τὰν πολιτείαν καὶ αὐτοῖς καὶ ἐσγόνοις καὶ τὰ λοιπὰ τίμια ὑπαρχέμεν αὐτοῖς πάντα ὅσσαπερ Λασαίοις, φυλὰς ἑλομένοις ἑκάστου ποίας κε βέλλειτει· τὸ μὰ ψάφισμα τόνε κῦρρον ἔμμεν κὰπ παντὸς χρόνοι καὶ τὸς ταμίας ἐσδόμεν ὀνγράψειν αὐτὸ ἐν στάλλας λιθίας δύας καὶ τὰ ὀνύματα τοῦν πολιτογραφειθέντουν καὶ κατθέμεν τὰμ μὲν ἴαν ἐν τὸ ἱερὸν τοῖ Ἄπλουνος τοῖ Κερδοίοι, τὰμ μὰ ἄλλαν ἐν τὰν ἀκρόπολιν, καὶ τὰν ὀνάλαν, κίς κε γινύειτει ἐν τάνε, δόμεν…”.